# ΙΩΑΝΝΟΥ Β

1 Ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς,
οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ, καὶ οὐκ ἐγὼ μόνος ἀλλὰ καὶ
πάντες οἱ ἐγνωκότες τὴν ἀλήθειαν,
2 διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν, καὶ μεθ' ἡμῶν
ἔσται εἰς τὸν αἰῶνα·
3 ἔσται μεθ' ἡμῶν χάρις ἔλεος εἰρήνη παρὰ*θεοῦ
πατρός, καὶ ⸀παρὰ Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ πατρός, ἐν
ἀληθείᾳ καὶ ἀγάπῃ.
4 Ἐχάρην λίαν ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου
περιπατοῦντας ἐν ἀληθείᾳ, καθὼς ἐντολὴν ἐλάβομεν
παρὰ τοῦ πατρός.
5 καὶ νῦν ἐρωτῶ σε, κυρία, οὐχ ὡς ἐντολὴν ⸉καινὴν
γράφων σοι† ἀλλὰ ἣν εἴχομεν ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν
ἀλλήλους.
6 καὶ αὕτη ἐστὶν ἡ ἀγάπη, ἵνα περιπατῶμεν κατὰ τὰς
ἐντολὰς αὐτοῦ· αὕτη ⸉ἡ ἐντολή ἐστιν‡, καθὼς ἠκούσατε
ἀπ' ἀρχῆς, ἵνα ἐν αὐτῇ περιπατῆτε.
7 ὅτι πολλοὶ πλάνοι ⸀ἐξῆλθον§εἰς τὸν κόσμον, οἱ μὴ
ὁμολογοῦντες Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν σαρκί· οὗτός
ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχριστος.
8 βλέπετε ἑαυτούς, ἵνα μὴ ⸀ἀπολέσητε*ἃ ⸀εἰργασάμεθα†
ἀλλὰ μισθὸν πλήρη ⸀ἀπολάβητε‡

* **1:3 παρὰ** WH Treg NA28 ] + κυρίου RP † **1:5 καινὴν γράφων σοι** Treg NA27 ] γράφων σοι καινὴν WH NA28 RP ‡ **1:6 ἡ ἐντολή ἐστιν** WH Treg NA28 ] ἐστιν ἡ ἐντολή RP § **1:7 ἐξῆλθον** WH Treg NA28 ] εἰσῆλθόν RP * **1:8 ἀπολέσητε** WH Treg NA28 ] ἀπολέσωμεν RP † **1:8 εἰργασάμεθα** WH RP NA28 ] εἰργάσασθε Treg NIV ‡ **1:8 ἀπολάβητε** WH Treg NA28 ] ἀπολάβωμεν RP

9 πᾶς ὁ ⸀προάγων§καὶ μὴ μένων ἐν τῇ διδαχῇ*τοῦ
Χριστοῦ θεὸν οὐκ ἔχει· ὁ μένων ἐν τῇ ⸀διδαχῇ, οὗτος καὶ
τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει.
10 εἴ τις ἔρχεται πρὸς ὑμᾶς καὶ ταύτην τὴν διδαχὴν οὐ
φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν καὶ χαίρειν αὐτῷ μὴ
λέγετε·
11 ὁ ⸉λέγων γὰρ† αὐτῷ χαίρειν κοινωνεῖ τοῖς ἔργοις
αὐτοῦ τοῖς πονηροῖς.
12 Πολλὰ ἔχων ὑμῖν γράφειν οὐκ ἐβουλήθην διὰ χάρτου
καὶ μέλανος, ἀλλὰ ἐλπίζω ⸀γενέσθαι‡πρὸς ὑμᾶς καὶ στόμα
πρὸς στόμα λαλῆσαι, ἵνα ἡ χαρὰ ⸀ὑμῶν§⸉πεπληρωμένη ᾖ
*.
13 Ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς
⸀ἐκλεκτῆς† ‘p /’ ‘/book’

§ **1:9 προάγων** WH Treg NA28 ] παραβαίνων RP * **1:9 διδαχῇ** WH Treg NA28 ] + τοῦ Χριστοῦ RP † **1:11 λέγων γὰρ** WH Treg NA28 ] γὰρ λέγων RP ‡ **1:12 γενέσθαι** WH Treg NA28 ] ἐλθεῖν RP
§ **1:12 ὑμῶν** WH Treg ] ἡμῶν NA28 RP * **1:12 πεπληρωμένη ᾖ** WH NA27 ] ᾖ πεπληρωμένη Treg NA28 RP † **1:13 ἐκλεκτῆς** WH Treg NA28 ] + Ἀμήν RP

# Η Καινή Διαθήκη
# The Greek New Testament: SBL Edition

copyright © 2010 Society of Biblical Literature and Logos Bible Software

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Ancient

Updated to source dated 2023-07-10 from https://github.com/LogosBible/SBLGNT

This translation is made available to you under the terms of the Creative Commons Attribution license 4.0.
You may share and redistribute this Bible translation or extracts from it in any format, provided that:

- You include the above copyright and source information.
- If you make any changes to the text, you must indicate that you did so in a way that makes it clear that the original licensor is not necessarily endorsing your changes.

Pictures included with Scriptures and other documents on this site are licensed just for use with those Scriptures and documents. For other uses, please contact the respective copyright owners.
Note that in addition to the rules above, revising and adapting God's Word involves a great responsibility to be true to God's Word. See Revelation 22:18-19.

2025-04-18

---

PDF generated using Haiola and XeLaTeX on 18 Apr 2025 from source files dated 18 Apr 2025
481db0ad-89b5-5f26-acd4-a04def98bd07